K 499



καθάρατε· τουτέστι μὴ ἁπλῶς ἀλλ᾽ ἀκριβῶς καθάρατε· ἵνα ἦτε νέον φύρα-
μα καὶ ἀμιγεῖς κακίας ἦτε. καθώς ἐστε· ἀντὶ τοῦ καθὼς πρέπει
εἶναι ὑμᾶς· χωρὶς ζύμης· τουτέστι τῆς παλαιᾶς κακίας καὶ
ὀξώδους καὶ δακνούσης τῇ μεταμελείᾳ:— Καὶ γὰρ τὸ πάσχα ἡ-
μῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός:— Ἐπειδὴ ἀζύμων ἐμνήσθη,
ταῦτα δὲ ἐν τῷ πάσχα ἠσθίοντο· ἀλληγορήσας τὸ ἄζυμον τί
ἐστιν· ὅτι ἡ δι᾽ ὅλου ἀμιγὴς κακίας, νῦν ἀλληγορεῖ καὶ τὸ
πάσχα· καὶ φησὶν ὅτι ὁ Χριστὸς ἐστὶν ἡμῶν πάσχα· τυθεὶς ὑπὲρ ἡ-
μῶν· ὀφείλομεν οὖν ἀζυμεῖν· τουτέστι τὴν ἀπὸ πάσης κακίας
καθαρότητα τηρεῖν:— Ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ
παλαιᾷ· μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας:— Δείκνυσιν
ὅτι πᾶς ὁ χρόνος ἑορτή ἐστι καιρὸς τοῖς χριστιανοῖς· διὰ τὴν
ὑπερβολὴν τῶν δοθέντων αὐτοῖς ἀγαθῶν· διὰ τοῦτο γὰρ ἐτύθη
ὁ υἱὸς τοῦ Θεοῦ ἵνα σε ἑορτάζειν ποιήσῃ· οὐκ ἐν ζύμῃ τοῦ παλαιοῦ
Ἀδάμ· οὐδὲ ἐν βίῳ κακίας πλήρει· μᾶλλον δὲ ὁ χείρων, πονη-
ρίας· κακὸς μὲν γὰρ πᾶς ὁ τὸ κακὸν πράσσων· πονηρὸς δὲ,
ὁ καὶ μετὰ βαθύτητος καὶ δολερᾶς γνώμης:— Ἀλλ᾽ ἐν ἀζύμοις
εἰλικρινείας καὶ ἀληθείας:— Τουτέστιν ἐν βίῳ εἰλικρινεῖ
ἤτοι καθαρῷ· πρὸς ἀντιδιαστολὴν τῆς κακίας· καὶ ἀληθεῖ·
τουτέστιν ἀμιγεῖ κρυπτοῦ δόλου· πρὸς ἀντιδιαστολὴν τῆς πονηρίας·
ἢ τὸ ἀληθείας δηλῶσαι μόνον, πρὸς ἀντιδιαστολὴν τῶν παλαι-
τύπων· οἵτινες οὐκ ἦσαν ἀλήθεια· βούλεται γὰρ τὸν χριστιανὸν
καὶ τῶν ἐν τῇ παλαιᾷ τύπων ὑπερτέρως εἶναι· ἢ εἰλικρίνειαν μὲν
τὴν καθαρότητα· ἣ διὰ τῆς πράξεως γίνεται· ἀλήθειαν δὲ τὴν
θεωρίαν:— Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι
πόρνοις:— Ἐν ποίᾳ ἐπιστολῇ· ἐν αὐτῇ ταύτῃ· ἐπειδὴ γὰρ εἶπεν
ἀνωτέρω· ὅτι ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἴσως ὑπενόη-
σαν ἂν ὅτι πάντων τῶν πόρνων καὶ τῶν παρ᾽ ἕλλησι χωρίζεσθαι
δεῖ· ἑρμηνεύει τοίνυν τοῦτο:— Οὐ πάντως τοῖς πόρνοις τοῦ
κόσμου τούτου ἢ τοῖς πλεονέκταις ἢ ἅρπαξιν· ἢ εἰδωλολάτραις·
ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν:— Τὸ πάντως ὡς
ἐπὶ ὁμολογουμένου πράγματος τέθεικεν· ἡ ζήτησις δὲ τοῦ
λόγου τοιαύτη· καὶ πάντως οὐ τοῖς πόρνοις τοῦ κόσμου συναναμί-
γνυσθαι ἐκώλυσεν; τουτέστι τοῖς τῶν ἑλλήνων· ἐπεὶ ἀπέραντον κα-
μὲν μὴ ὀφείλετε ἐξελθεῖν ταύτης· οὐ γὰρ δυνατὸν ἐν τῇ αὐτῇ πόλει πλείον

MAGYAR TUDOMÁNYOS AKADÉMIA KÖNYVTÁRA

Τὸ ἑρμήνευμα τοῦ Θε... Παῦ. 14 ... 2

τῶν ἑλλήνων, μὴ συναναμίγνυσθαι τοῖς τοιούτοις:— νυνὶ δὲ
ἔγραψα ὑμῖν ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ἢ πόρνος· ἢ πλεο-
νέκτης· ἢ εἰδωλολάτρης· ἢ λοίδορος· ἢ μέθυσος· ἢ ἅρπαξ, τῷ τοι-
ούτῳ μηδὲ συνεσθίειν: ὁρᾷς ὅτι οὐχὶ μόνος ὁ πόρνος·
ἀλλὰ καὶ ἕτεροι; καὶ τὰς διαφόρους κακίας; καὶ πῶς ὁ ἀδελφὸς ὤν,
εἰδωλολάτρης εἶναι δύναται· ὥσπερ καὶ ἐπὶ τῶν σαμαρειτῶν συνέ-
βη ποτέ· οἳ ἐξ ἡμισείας ἐσέβοντο, οὕτω καὶ ἐν τούτοις τινὰς τῶν
εἰδώλων ἀντέχεσθαι· ἄλλως τε καὶ προκαταβάλλεται τὸν περὶ τῶν
εἰδωλοθύτων ἐπαγόμενον λόγον· καλῶς δὲ εἶπε τὸ ἀδελφὸς ὀνο-
μαζόμενος· ὄνομα γὰρ ἀδελφοῦ ἔχει· οὐκέτι δὲ τῇ ἀληθείᾳ ἀπὸ
ὁ τοῖς αὐτοῦ περιθήμενος ἔνοχος· τὸ δὲ ἢ πόρνος, δύναται μὲν καὶ ὡς
διαζευκτικὸς σύνδεσμος νοηθῆναι· καθὼς καὶ τὰ ἑξῆς· δύναται δὲ
καὶ ὡς ῥῆμα· ἀντὶ τοῦ ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ· τουτέστιν
ὑπάρχῃ πόρνος· καὶ τὰ ἑξῆς, τῷ τοιούτῳ μὴ συνεσθίειν· μετὰ
γνοὺς ὅτι βδελύττεται διὰ τὴν κακίαν, ἀπόσχηται ταύτης:—
Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν: ἔξω τοὺς ἕλληνας ὀνομάζει· ἔ-
σω δὲ τοὺς χριστιανούς· οὐ δή μοι φησὶ λόγος πρὸς τοὺς ἔξω·
αὐτὸ γὰρ τοῦτο, ἔξω τῶν ἐμῶν νόμων εἰσί· περιττὸν αὐτοὺς τὸ
ταῖς ποιναῖς τοῦ χριστοῦ ὑποθεῖναι τοῖς ἔξω τῆς χριστοῦ αὐλῆς· ὅσα γὰρ ὁ νόμος
λαλεῖ τοῖς ἐν τῷ νόμῳ λαλεῖ:— οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε;
τοὺς δὲ ἔξω ὁ θεὸς κρινεῖ: τίμιοι εἰσί, τοῦ οὐχὶ ἐπιτάζουσιν· εἰ τὰ
πολλάκις ἄρχοντες αὐτοὶ τιμωροῦσι χωρὶς ἐρωτήσεως· τοὺς ἔσω
ὑμεῖς κρίνετε· εἰπὼν γὰρ ἀνωτέρω τί μοι τοὺς ἔξω κρίνειν, ἐπήγαγε τὸ
οὐχί· ἀντὶ τοῦ οὐκ ἐπ' ἐμοὶ τὸ κρίνειν ἐκείνους· τινὲς δὲ συναπτῶς
καὶ ἐρωτηματικῶς ἀναγινώσκουσιν· οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε;
ἀντὶ τοῦ οὐχὶ τοὺς χριστιανοὺς ὀφείλετε ὑμεῖς κρίνειν; τοὺς δὲ ἔξω
φοβερώτερος δικαστὴς παραλήψεται· ὥστε ἐπεὶ παρ' ὑμῖν οἱ ἔσω κρί-
νονται, ἐκφεύξονται τὴν φοβερωτέραν κρίσιν τὴν τοῦ θεοῦ:— καὶ ἐξα-
ρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν: ἐμνημόνευσε ῥήσεως
ἐν τῇ παλαιᾷ κειμένης· ἵνα δείξῃ ὅτι καὶ ἄνωθεν ἔδοξε τῷ νομο-
θέτῃ, τοὺς πονηροὺς ἐκτέμνεσθαι· τὸ δὲ ἐξ ὑμῶν αὐτῶν, δείκνυ-
σιν ὅτι μᾶλλον αὐτῶν ὠφέλεια ἐστὶν ἡ ἐξαίρεσις τοῦ πονηροῦ:—
Τολμᾷ τις ὑμῶν πρὸς τὸν ἀδελφὸν αὐτοῦ πρᾶγμα ἔχων κρί-
νεσθαι ἐπὶ τῶν ἀδίκων καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων: πολλοὶ
χρηματικὰς δίκας ἔχοντας, ἐκεῖνον τὸ παρὰ τοῖς ἕλλησι δικασ-

Theophylaktos magyarázata
(= Migne: PG. 124. 624 D – 628 C)

Leírta: Balázs János 1938. V.

I. Kor. 5,7-hez. καθάρατε τουτέστι μετὰ ἀκριβείας καθάρατε· ἵνα νέον φύραμα καὶ ἀμιγὲς κακίας ἦτε· καθὼς ἐστὲ ἀντὶ τοῦ καθὼς πρέπει εἶναι ὑμᾶς· χωρὶς ζύμης· τουτέστι τῆς παλαιᾶς κακίας καὶ ὀξώδους καὶ δακνούσης τῇ μεταμελείᾳ:~
5,7 καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός: ἐπειδὴ ἀζύμων ἐμνήσθη ταῦτα δὲ ἐν τῷ πάσχα ἠσθίοντο· ἀλληγορήσας τὰ ἄζυμα τί εἰσιν· ὅτι ἡ διάθεσις ἡ ἀμιγὴς κακίας, νῦν ἀλληγορεῖ καὶ τὸ πάσχα· καὶ φησὶν ὅτι ὁ Χριστὸς ἐστὶν ἡμῶν πάσχα· τυθεὶς ὑπὲρ ἡμῶν· ὀφείλομεν οὖν ἄζυμα· τουτέστι τὴν ἀπὸ πάσης κακίας καθαρότητα περιέπειν:~
5,8 ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ· μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας: δείκνυσιν ὅτι πᾶς ὁ χρόνος, ἑορτῆς ἐστὶ καιρὸς τοῖς χριστιανοῖς· διὰ τὴν ὑπερβολὴν τῶν δοθέντων αὐτοῖς ἀγαθῶν· διὰ τοῦτο γὰρ ἐτύθη ὁ υἱὸς τοῦ θεοῦ ἵνα σε ἑορτάζειν ποιήσῃ οὐκ ἐν ζύμῃ τοῦ παλαιοῦ ἀδάμ· οὐδὲ ἐν βίῳ κακίας πλήρει· μᾶλλον δὲ ὁ χεῖρον, πονηρίας· κακὸς μὲν γὰρ πᾶς ὁ τὸ κακὸν πράσσων· πονηρὸς δέ, ὁ (καὶ) μετὰ βαθυτάτου καὶ δολερᾶς γνώμης:~
5,8 ἀλλ' ἐν ἀζύμῃ εἰλικρινείας καὶ ἀληθείας: τουτέστιν ἐν βίῳ εἰλικρινεῖ ἤτοι καθαρῷ· πρὸς ἀντιδιαστολὴν τῆς κακίας· καὶ ἀληθεῖ τουτέστιν ἀνυποκρίτῳ ἀδόλῳ· πρὸς ἀντιδιαστολὴν τῆς πονηρί(ας)· ἢ τὸ ἀληθείας δύνασαι νοῆσαι, πρὸς ἀντιδιαστολὴν τῶν παλαι(ῶν) τύπων· οἵτινες οὐκ ἦσαν ἀλήθεια· βούλεται γὰρ τὸν χριστιανὸν (καὶ) τῶν ἐν τῇ παλαιᾷ τύπων ὑπέρτερον εἶναι· ἢ εἰλικρίνειαν μὲν τὴν καθαρότητα· ἡ διὰ τῆς πράξεως γίνεται· ἀλήθειαν δὲ τὴν θεωρίαν:~
5,9 ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι πόρνοις: ἐν ποίᾳ ἐπιστολῇ· ἐν αὐτῇ ταύτῃ· ἐπειδὴ γὰρ εἶπ(εν) ἀνωτέρω· ὅτι ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἴσως ὑπενόησαν ἂν ὅτι πάντων τῶν πόρνων καὶ τῶν παρ' ἕλλησι χωρίζεσθαι
5,10 δεῖ· ἑρμηνεύει τοίνυν τοῦτο:~ (καὶ) οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου ἢ τοῖς πλεονέκταις ἢ ἅρπαξιν· ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν: τὸ πάντως ὡς ἐπὶ ὁμολογουμένου πράγματος τέθεικεν· ἡ σύνταξις δὲ τοῦ λόγου τοιαύτη· καὶ πάντως οὐ τοῖς πόρνοις τοῦ κόσμου συναναμίγνυσθαι ἐκώλυσα; τουτέστι τοῖς τῶν ἑλλήνων· ἐπεὶ ἑτέραν οἰκουμένην ὀφείλετε ζητῆσαι· π(ῶς) γὰρ δυνατὸν ἐν τῇ αὐτῇ πόλει πλεόν(ων)

5,11 τῶν ἑλλήνων, μὴ συναναμίγνυσθαι τοῖσ τοιούτοισ:~ νῦν δὲ
ἔγραψα ὑμῖν ἐάν τισ ἀδελφὸσ ὀνομαζόμενοσ ἢ πόρνοσ ἢ πλεο
νέκτησ· ἢ εἰδωλολάτρησ· ἢ λοίδοροσ· ἢ μέθυσοσ ἢ ἅρπαξ, τῷ τοι
ούτῳ μηδὲ συνεσθίειν:, ὁρᾷσ ὅτι οὐχ εἷσ μόνοσ ἦν πόρνοσ·
ἀλλὰ καὶ ἕτεροι; καὶ ἐν διαφόροισ κακίαισ, (καὶ) πῶσ ἀδελφὸσ ὢν
εἰδωλολάτρησ εἶναι δύναται· ὥσπερ (καὶ) ἐπὶ τῶν σαμαρειτῶν συνέ
βη ποτὲ οἱ ἐξ ἡμισείασ εὐσέβουν, οὕτωσ καὶ ἐν τούτοισ τινὲσ τῶν
εἰδώλων εἴχοντο ἔτι· ἄλλωσ τε καὶ προκαταβάλλεται τὸν περὶ τ(ῶν)
τὰ εἰδωλόθυτα ἐσθιόντων λόγον· καλῶσ δὲ εἶπε τὸ ἀδελφὸσ ὀνο-
μαζόμενοσ· ὄνομα γὰρ ἀδελφοῦ ἔχει· οὐκ ἔστι δὲ τῇ ἀληθείᾳ πᾶσ
ὁ τοῖσ ἀπηριθμημένοισ ἔνοχοσ· τὸ δὲ ἢ πόρνοσ, δύναται μὲν καὶ ὡσ
διαζευκτικὸσ σύνδεσμοσ νοηθῆναι· καθὼσ καὶ τὰ ἑξῆσ· δύναται δὲ
καὶ ὡσ ῥῆμα· ἀντὶ τοῦ ἐάν τισ ἀδελφὸσ ὀνομαζόμενοσ ᾖ· τουτέστιν
ὑπάρχῃ πόρνοσ· καὶ τὰ ἑξῆσ τῷ τοιούτῳ μὴ συνεσθίειν ἵνα
γνοὺσ ὅτι βδέλυγμά ἐστι διὰ τὴν κακίαν, ἀπόσχηται ταύτησ:~
5,12 Τί γάρ μοι καὶ τοὺσ ἔξω κρίνειν:, ἔξω τοὺσ ἕλληνασ ὀνομάζει ἔ
σω δὲ τοὺσ χριστιανούσ· οὐδείσ μοι φησὶ λόγοσ πρὸσ τοὺσ ἔξω·
αὐτὸ γὰρ τοῦτο, ἔξω τῶν ἐμῶν νόμων εἰσί· περιττὸν οὖν τὰ προσ
τάγματα τοῦ (Χριστοῦ) τιθέναι τοῖσ ἔξω τοῦ (Χριστοῦ) αὐλῆσ· ὅσα γὰρ ὁ νόμοσ
λαλεῖ, τοῖσ ἐν τῷ νόμῳ λαλεῖ:~ οὐχὶ τοὺσ ἔσω ὑμεῖσ κρίνετε;
5,12 5,13 τοὺσ δὲ ἔξω ὁ θεὸσ κρίνει:, τινὲσ εἰσ τὸ οὐχὶ στίζουσιν· εἶτα ἀ
π' ἄλλησ ἀρχῆσ ἀναγινώσκουσι χωρὶσ ἐρωτήσεωσ· τοὺσ ἔσω
ὑμεῖσ κρίνετε· εἰπὼν γὰρ ἄνω τί μοι τοὺσ ἔξω κρίνειν, ἐπήγαγεν
οὐχί· ἀντὶ τοῦ οὐκ ἔστι μοι τὸ κρίνειν ἐκείνουσ· τινὲσ δὲ συναπτῶσ
καὶ ἐρωτηματικῶσ ἀναγινώσκουσιν· οὐχὶ τοὺσ ἔσω ὑμεῖσ κρίνετε;
ἀντὶ τοῦ οὐχὶ τοὺσ χριστιανοὺσ ὀφείλετε ὑμεῖσ κρίνειν; τοὺσ δὲ ἔξω
φοβερώτεροσ δικαστὴσ παραλήψεται· ὥστε εἰ παρ' ὑμῖν οἱ ἔσω κρί
νονται, ἐκφεύξονται τὴν φοβερωτέραν κρίσιν τὴν τοῦ (θεοῦ):~ καὶ ἐξα
5,13 ρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν:, ἐμνημόνευσε ῥήσεωσ
ἐν τῇ παλαιᾷ κειμένησ· ἵνα δείξῃ ὅτι (καὶ) ἄνωθεν ἐδόκει τῷ νομο-
θέτῃ τοὺσ πονηροὺσ ἐκτέμνεσθαι· τὸ δὲ ἐξ ὑμῶν αὐτῶν, δεικνύ
σιν ὅτι μᾶλλον αὐτῶν ὠφέλεια ἐστὶν ἡ ἐξάρσισ τοῦ πονηροῦ:~
6,1 Τολμᾷ τισ ὑμῶν πρὸσ τὸν ἀδελφὸν αὐτοῦ πρᾶγμα ἔχων κρί
νεσθαι ἐπὶ τῶν ἀδίκων καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων:, πολλὰ
χρηματικὰσ δίκασ ἔχοντεσ, ἐκρίνοντο παρὰ τοῖσ ἕλλησι δικαστ(αῖσ)